Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: iru-af

*Ἀράτου Βίοι* · Aratus Lives

# Excerpt from Preface-Phenomena

*Ἐκλογὴ ἐκ τῆς Προοιμίου Περὶ Φαινομένων*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Βίος* Biography
**Format:** *Πεζός* Prose

1 (t1) PRAEFATIONIS EXCERPTUM ANONYMUS II 3 τῶν Ἀράτου Φαινομένων τὰ μέν ἐστι περὶ τῶν κατ’ οὐρανὸν ἄστρων καὶ ἰδίως Φαινόμενα λέγεται, τὰ δὲ περὶ τῶν ὑπὸ τὸν οὐρανὸν καὶ τῶν πάλαι λεγομένων μεταρσίων ἐστὶ φαινόμενα κατὰ τὸν ἀστρονομικὸν τέτακται τόπον. ὑπὲρ ὧν καὶ τὰ ἐξηγητικὰ πεπραγμάτευται: ὅτι τῷ μαθηματικῷ εἰς δύο προσήκει τὸ τοῦ ποιητοῦ σύγγραμμα, τὸ μὲν εἰς τὰ φαινόμενα καὶ ἀστρολογικῶς ἐξενηνεγμένα, τὸ δὲ εἰς τὰ ἕτερα, πέμψαι σοι προήχθην τὰ Φαινόμενα Ἀράτου διορθωθῆναι καὶ τὴν ἐμὴν γνώμην, οὐδέπω τῆς διορθώσεως ταύτης ἐκδεδομένης.

2 ἴσθι δὲ χρώμενόν με σημείοις τέτταρσι, τῷ τε χ καὶ τῇ διπλῇ καὶ τῷ ἀμφὶ καὶ τῷ ἀστέρι ἐν τῷ ἐδάφει. γραφὲν δ’ ἂν ἴδῃς στίχῳ παρακείμενον ἕν τι τῶν προειρημένων σημείων ... πῶς γὰρ οὐκ αἰσχρόν, εἰ πεπιστεύκαμεν πάντα μὲν τὰ ἄστρα τὸν θεὸν διατάξαι εἰς σημεῖα καὶ εἰς καιρούς, τὴν δὲ Δίκην φεύγουσαν τὴν περιττὴν τῶν ἀνθρώπων κακίαν ἐλθεῖν εἰς τὸν οὐρανὸν καὶ γενέσθαι ἄστρον; ὥστε κατ’ αὐτοὺς οὐκέτι ὁ θεὸς τὰ ἄστρα εἰς σημεῖα τοῖς ἀνθρώποις διέταξεν.

3 (18) ἀλλὰ ληρώδεις οὗτοι οἱ λόγοι. τὰ γὰρ ἄστρα καὶ διέταξε καὶ ἵδρυσε, τὰ δ’ ὀνόματα καὶ τὰς σημειώσεις ὕστερον οἱ ἀστρολόγοι ὡς ἔμπειροι προσέθεσαν, οἳ αὐτοὶ καὶ μύθους οἰκείους προσέπλασαν.

4 οὐδὲν οὖν κωλύει δημιουργὸν λέγειν τὸν θεόν, Δίκην δέ τινα ὑπὸ τῶν ἀστρολογησάντων κεκλῆσθαι. τοῦτο γὰρ ὁ Ἄρατός φησιν (100)· «λόγος γε μὲν ἐντρέχει ἄλλος 〈ἀνθρώποισ〉».

Eulogikon public reading copy · View original HTML at eulogikon.org